www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον νεομάρτυρα Θεόδωρον

Ἦχος πλ.δ'

Ἅγιον Ὅρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Κανὼν εἰς τὸν Ἅγιον νεομάρτυρα Θεόδωρον, τὸν ἐν Ῥέν-κιοΐ, καὶ ἐν Δαρδανελίοις ἀθλήσαντα, οὗ ἡ ἀκροστιχίς, «Θεόδωρον τὸν νεομάρτυρα μέλπω Ἱλαρίων». Ἦχος πλ.δ'

*Ὠιδὴ Α' Ἁρματηλάτην Φαραώ.*

Θεὲ τῶν ὅλων τὴν σήν, χάριν δίδου μοι, ἡ Παναγία Τριάς, Πάτερ Λόγε Πνεῦμα. ἑλομένῳ ἄσμασι, τοῦ Θεοδώρου μάρτυρος, τὰ παλαίσματα μέλψαι, καὶ τοὺς ἀγῶνας οὓς ἤνυσε, χάριτι τῇ σῇ δυναμούμενος.

Ἐπὶ τῆς γῆς τῆς Τρωϊκῆς ὁ ἔνδοξος, ὥσπερ τις θεῖος βλαστός, γεννητόρων ἔφυ, εὐσεβείας πλούτῳ τε, κομῶντας καὶ τοῖς ἴχνεσι, τούτων βαίνων ἐδείχθη, τῶν δεομένων ἀντίληψις, καὶ Χριστοῦ μαρτύρων πανάριστος.

Ὁλοσχερῶς τὴν σὴν ἐλπίδα θέμενος, πρὸς τὸν τῶν ὅλων Θεόν, μετανάστης μάρτυς, τῆς πατρίδος γέγονας, καὶ Ἑλλησπόντου ᾤκησας, τὴν αὐχοῦσάν σοι πόλιν, ἐν ᾗ σορὸς ἡ τιμία σου, κεῖται τοῖς πιστοῖς χάριν βρύουσα.

*Θεοτοκίον*

Δέσποινα πάντων ὁρατῶν κτισμάτων τε, καὶ ἀοράτων ὁμοῦ, χάριν σὴν εὐσπλάγχνως, ἐφ' ἡμᾶς κατάπεμψον, ὅπως τῇ μεσιτείᾳ σου,

τὰ ἐφύμνια μέλψαι, ἀξιοχρέως τῷ μάρτυρι, τῷ νεοφανεῖ δυνησόμεθα.

*Ὠιδὴ Γ΄ Ὁ στερεώσας κατ' ἀρχάς.*

Ὡσεὶ ἀσπίδων δολεράς, βολὰς ἐξέκλινας μάρτυς, τῶν ἀπίστων εὐθαρσῶς καὶ πανσόφως, καὶ γὰρ εἶχες τὸν Χριστόν, λαλοῦντά σοι Θεόδωρε, ἐν τῇ καρδίᾳ λόγους, σωτηριώδεις θεόπνευστε.

Ῥώμην δεχόμενος νοσῶν, ἐξ ὕψους τῶν ἐναντίων, φληναφίας τῶν ἰάσεων μάρτυς, ἀπεβάλου καὶ γὰρ σύ, ἐν τῷ Σωτῆρι ἤλπισας, τῷ τῆς ζωῆς Δεσπότῃ, καὶ τοῦ θανάτου τρισόλβιε.

Ὁ τοῦ Θεοῦ τῶν δωρεῶν, ἐπωνυμήσας θεόφρον, τῷ Δεσπότῃ τῶν ἁπάντων ὡς δῶρον, προσηνέχθης ἱερόν, σφαγιασθεὶς Θεόδωρε, ὃν ἐκδυσώπει μάκαρ, ὑπὲρ τῶν πίστει ὑμνούντων σε.

*Θεοτοκίον*

Νεομαρτύρων ἡ πληθύς, τὸν ὑπὸ σοῦ γεννηθέντα, Θεὸν Λόγον ἀνεκήρυξε Κόρη, τὴν σὴν ἄμαχον ἰσχύν, ἐν τῷ σταδίῳ ἔχουσα, τὸν ἐκ τῆς Ἄγαρ γόνων, τὰς παρατάξεις κατέβαλε.

*Ὠιδὴ Δ΄ Εἰσακήκοα Κύριε.*

Τῶν ἀπίστων ἀπήμβλυνας, μηχανοραφίας τε καὶ τὰ ἔνεδρα, τοῦ Θεοῦ

ἐνδυναμοῦντός σε, καὶ ἐδείχθης μάρτυς γενναιότατος.

Ὁλοψύχως προσέδραμες, ἐν σταδίῳ μάκαρ τοῦ μαρτυρίου σου, τὴν ἐξ ὕψους ἐκδεχόμενος, τοῦ Σωτῆρος πάντων τὴν βοήθειαν.

Νέον ἄστρον λαμπρότατον, τῷ τῆς Ἐκκλησίας στερεώματι, ἀνεδείχθης τὴν σκοτόμαιναν, δεινῆς ἀσεβείας λύων ἔνδοξε.

*Θεοτοκίον*

Νοσημάτων Πανάχραντε, ἰατρεῖον ἄμισθον ἐπιστάμενοι, τῷ ναῷ σου καταφεύγομεν, οἱ σὲ Θεοτόκον καταγγέλοντες.

*Ὠιδὴ Ε' Ἵνα τί με ἀπώσω.*

Ἐπὶ βήματος ἔστης, τῶν ἀσεβῶν ἔνδοξε μάρτυς πανόλβιε, καὶ Θεὸν τῶν ὅλων, τὸν Χριστὸν καὶ Σωτῆρα καθωμολόγησας, κολακείας τούτων, καὶ ἀπειλὰς ἀνδρειοφρόνως, ἀπεσείσω παμμάκαρ Θεόδωρε.

Ὁ τὴν γῆν στερεώσας, πανσθενουργῷ νεύματι Χριστὸς ὁ Κύριος, καὶ τὸν οὐρανὸν ὡσεὶ δέρριν ἀνατεινάμενος, καὶ σὲ στεφανίτην τῷ ἐπ' αὐτῷ ἔνδοξον μάκαρ, ἠλπικότι θεόφρον ἀνέδειξε.

Μὴ ἐνδίδων τοῖς πόνοις, καὶ ἀπειλαῖς κέκλεισαι μάρτυς Θεόδωρε, ἐν δεσμωτηρίῳ, καὶ ἐν ξύλῳ διαστρεβλούμενος, φῶς περιαστράπτει, σὲ ἐπουράνιον τρισμάκαρ, τῶν δεινῶν κολάσεων παρακλητήριον.

*Θεοτοκίον*

Ἀνυμνοῦμέν σε Κόρη, τὴν ἐπὶ γῆν τέξασαν Χριστὸν τὸν Κύριον, ἄνευθεν ὠδίνων, μητρικῶν ὃν δυσώπει θεόνυμφε, τῶν καινολογούντων ἡμᾶς λυτρώσασθαι ἐκ μώμου, ὀρθοδόξων ῥυπαίνοντος σύστημα.

*Ὠιδὴ ΣΤ΄ Ἱλάσθητί μοι Σωτήρ.*

Ῥεόντων καταφρονῶν, τῶν ἀθανάτων ἐπόθησας, καὶ σεαυτὸν τῷ Χριστῷ, θείον ὁλοκάρπωμα, ἀθλητὰ προσήγαγες, ἐκτμηθεὶς τὴν κάραν, παναοίδιμε Θεόδωρε.

Τυράννων τὰς ἀπειλάς, καὶ τὰς βασάνους ὑπέφερες, διὰ Χριστὸν τὸν Θεὸν, μηδόλως πτοούμενος, καὶ γὰρ σὺ ἐκέκτησο, τοῦτον ἐν καρδίᾳ, νοερῶς ἐνδυναμούμενος.

Ὑμνήσωμεν εὐσεβῶς, πιστοὶ τὴν μίαν Θεότητα, Πατέρα καὶ τὸν Υἱόν, καὶ Πνεῦμα τὸ Ἅγιον, ὑπὲρ ἧς καὶ ἤθλησεν, ὁ γενναῖος μάρτυς, ὁ πανένδοξος Θεόδωρος.

*Θεοτοκίον*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥυσθείημεν διὰ σοῦ, Παρθενομῆτορ τῶν θλίψεων, προσγινομένων ἡμῖν, δεινῆς ἐξ αἱρέσεως, καινόφωνον σύστημα, ἐξ ὀθνείας δόξης, τῶν γλωσσάλγων συνονθύλευμα.

*Ὠιδὴ Ζ΄ Θεοῦ συγκατάβασιν.*

Ἀπράκτους ἀπέδειξας, μηχανουργίας τῶν ἀσεβούντων ἀεί, καὶ πρὸς θείους ἀγῶνας, ὑπήχθης μάκαρ ἀγαλλομένῳ ποδί, καὶ ὡς οἱ παῖδες ἐν τῇ καμίνῳ ὑπέψαλλες, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Μαρτύρων στρατεύμασι, ἐν οὐρανοῖς ἀγάλλῃ συνών, ἐν φωτὶ μετ' Ἀγγέλων, πεφοινιγμένῃ στολῇ, τῷ ἐν Τριάδι Θεῷ ψάλλεις γηθόμενος, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἑώας ἐξέλαμψας, πιστοὺς φωτίζων ὥσπερ ἀστὴρ φαεινός, τὰς ἰάσεις παρέχων, τοῖς σοὶ προστρέχουσι μάρτυς Θεόδωρε, καὶ μετὰ πόθου ἀεὶ κραυγάζοντας, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

*Θεοτοκίον*

Λυχνίαν πολύφωτον, καὶ θρόνον θεῖον τοῦ Παντοκράτορος, οἱ πιστοὶ σὲ Παρθένε γινώσκομέν σε εὐλογημένη σεμνή, καὶ ἀγαλλόμενοι ἅπαντες ψάλλομεν, εὐλογημένος ὁ καρπὸς τῆς σῆς κοιλίας Ἁγνή.

*Ὠιδὴ Η΄ Ἑπταπλασίως κάμινον.*

Περιχαρῶς τὴν μνήμην σου, ἐκτελοῦντες Θεόδωρε, κλεινὲ νεομάρτυς, ἐν τῷ οἴκῳ σήμερον, Ἁγνῆς τῆς θεόπαιδος, γεραίροντες ἐν ᾄσμασι, τῷ Παμβασιλεῖ, καὶ στεφοδότῃ βοῶντες, οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὡς τὶς ἀδάμας ἔνδοξε, ταῖς βασάνοις ὡμίλησας, καὶ θυσία ἤχθης, ἐκτομῇ τῆς κάρας σου, καὶ στέφει κεκόσμησαι, τοῦ μαρτυρίου παρὰ Χριστοῦ, ὃν νῦν καὶ ἡμεῖς, δοξολογοῦντες βοῶμεν, παράσχου πανοικτίρμον, τοῖς σοῖς δούλοις τὸ σθένος, πιστῶς τῇ Ἐκκλησίᾳ ἐμμένειν εἰς αἰῶνας.

Ἱερωτάτοις ᾄσμασι, τὴν πανέορτον στέψωμεν, μνήμην τοῦ ἐνδόξου, ἀθλητοῦ καὶ μάρτυρος, Πατέρα δοξάζοντες, σὺν τῷ Υἱῷ καὶ Πνεύματι, τῷ Δημιουργῷ καὶ Λυτρωτῇ τῶν ἁπάντων, ὃν παῖδες εὐλογοῦσι, τῶν ὁσίων τε δῆμοι, ἀπαύστως ἀνυμνοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον*

Λελαμπρυσμένη πέφηνας, Παναγία Μητρόθεε, Δέσποινα τοῦ κόσμου τῶν μαρτύρων ἔρεισμα, ὑμᾶς τοὺς ὑμνοῦντάς σε, τῆς τυραννίδος τῶν πειρασμῶν, λύτρωσαι Ἁγνή, τοὺς σὲ πιστῶς ἐκβοῶντας, τὸ χαῖρε τοῦ Ἀγγέλου, ὦ Κεχαριτωμένη, ὁ Κύριος Μαρία, ἐκ σῆς νηδύος ὤφθη.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὠιδὴ Θ' Ἐξέστη ἐπὶ τούτῳ.

Ἀξίωσον τοὺς πίστει εἰλικρινεῖ, εὐφημοῦντάς σε μάκαρ Θεόδωρε, τὸν ἐπὶ γῆς, δίαυλον τελέσαι θεοπρεπῶς, καὶ τῆς μελλούσης Ἅγιε, τῆς ἀδιαπτώτου ἐπιτυχεῖν, ζωῆς ἀεὶ πρεσβεύων, μετὰ τοῦ Γεωργίου, πανευκλεοῦς μεγαλομάρτυρος.

Ῥανάτωσαν τὰ ὄρη τὸν γλυκασμόν, οἱ βουνοὶ ἀγαλλίασιν δότωσαν, δαβιτικῶς, ἡ τοῦ ἀθλοφόρου θεία σορός, τοῦ πανενδόξου μάρτυρος, εὐωδίαν ὄντως πνευματικήν, ἐξαίρουσα τὰς νόσους, σωμάτων πυρεσσόντων, καὶ ψυχῶν τοὺς ῥύπους πάντοτε.

Ἰδού σοι νεομάρτυς πανευλαβῶς, γόνυ κλίνομεν ἅπαντες πόθῳ τε ἀδελφικῷ, καὶ κατασπαζόμεθα τὸ σεπτόν, τοῦ σεβασμίου σκήνους σου, Λείψανον τὸ θεῖον καὶ ἱερόν, τὸ τεθησαυρισμένον, ἐν τῇ ἐνταῦθα Σκήτῃ, Ὄρους Ἁγίου τοῦ Ἄθωνος.

Ὢ βάθος πλούτου γνώσεως τοῦ Θεοῦ, καὶ σοφίας τῆς ἄνω ὡς ἔφησε τῆς ἐκλογῆς, σκεῦος τὸ θεόπνευστον ἀληθῶς, τῶν ἀπράτων ἅπασα, κτίσις ἀνυμνεῖ σε καὶ ὁρατῶν, τὸν Ἄναρχον Πατέρα, Υἱόν τε καὶ τὸ Πνεῦμα, τὴν μίαν φύσιν καὶ Θεότητα.

Θεοτοκίον.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νοσῶν Παρθένε νόσον τὴν χαλεπήν, σὺν τῷ θείῳ Χριστοῦ νεομάρτυρι, θείων κἀμοί, σπλάγχνα ἐπιδείξατε οἰκτιρμῶν, τῷ Ἰησοῦ πρεσβεύοντες, τοῦ ἐλεηθῆναί με δωρεάν, εὐχῆς τῆς σωτηρίου, ἀντέχειν διὰ βίου, καὶ τῆς ἐξόδου τὰ ἐνθύμια.